Ιερα Μεγιστη
Μονη Βατοπαιδιου

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ
# ΤΗΝ ΕΠΙΚΑΛΟΥΜΕΝΗΝ
# ΕΛΑΙΟΒΡΥΤΙΔΑ
# ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΑΤΟΠΑΪΔΙΟΥ



ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ
# ΤΗΝ ΕΠΙΚΑΛΟΥΜΕΝΗΝ
# ΕΛΑΙΟΒΡΥΤΙΔΑ
# ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΑΤΟΠΑΪΔΙΟΥ

**Ὁ ἱερεύς·**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης**

Ἀμήν.

**Ψαλμὸς ρμβ´ (142)**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Καὶ εὐθὺς ἐξ ἑκατέρων τῶν Χορῶν.**
**Ἦχος δ´.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α´** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...
**Στίχ. β´** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...
**Στίχ. γ´** Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Εἶτα τὰ παρόντα τροπάρια.**

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐλαιοβρύτις θαυμαστή, Θεοτόκε,
Βατοπεδίου οἰκονόμε καὶ φύλαξ,
ἡμῖν πλουσίως πόριζε Χριστοῦ ἀγαθὰ
τοῦ Υἱοῦ σου, εὔσπλαγχνε,καὶ Σωτῆρος τοῦ κόσμου
ζόφωσιν σκεδάζουσα τοῦ λιμοῦ καὶ τῆς πείνης,
ἡ ἐν καιρῷ στενώσεως δεινῆς
τὰ τοῦ δοχείου ἀγγεῖα πληρώσασα.

Δόξα. Τὸ αὐτό.
Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν, οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ἀναγνώστης (χῦμα).**
**Ψαλμὸς Ν´ (50)**

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ

παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλομεν τὸν κανόνα,**
οὗ ἡ ἀκροστιχίς:

" ΕΛΕΟΥΣ ΘΕΙΟΥ ΕΜΠΛΗΣΟΝ ΜΕ, ΕΛΑΙΟΒΡΥΤΙΣ. Χ."

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἐλέους κατάπεμψον ὀχετοὺς
τοῦ θείου λιταῖς σου
πρὸς ὃν ἔτεκες ῥυπτικαῖς,
Θεὸν ἀληθῆ, Ἐλαιοβρῦτις
θαυματουργέ, ἐφ᾽ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Λαμπὰς παρθενίας φωτολαμπές,
Παρθένε Μαρία,,
μετανοίας εἰλικρινοῦς
λαμπάδα μοι ἄναψον σκοτείαν
ἀνομιῶν μου πληθύος σκεδάζουσαν.

Ἐλαίου τὸν λύχνον μου τῆς ψυχῆς
ταχὺ πλῆσον ὄντα
ἐσβεσμένον ἁμαρτιῶν
τῷ πλήθει, σεμνὴ Ἐλαιοβρύτις,
ἵνα συνέσεως φῶς φαίνω ἅπασιν.

Ὁμήγυρις χαίρει τῶν μοναστῶν
τοῦ Βατοπεδίου
καὶ ἀγάλλεται τὴν σεπτὴν
εἰκόνα σου κατασπαζομένη,
Ἐλαιοβρύτις, χαρᾶς κόσμου πρόξενε.

Ὑψόθεν ἐπόμβρισον ἐφ'ἡμᾶς
ὑγείας κατ'ἄμφω
καὶ συνέσεως ὑετόν,
τοὺς σπεύδοντας πόθῳ προσκυνῆσαι,
Ἐλαιοβρύτις, τὸ θεῖόν σου ἔκτυπον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Σοῦ τῇ θείᾳ εἰκόνι
τῶν μοναστῶν σύλλογοι
τοῦ Βατοπεδίου τῆς μάνδρας
πάντοτε σπεύδοντες,
Ἐλαιοβρύτις σεμνή,
λιμοῦ σκεδάζομεν ζόφον
καὶ ἀχλὺν διώκομεν
νόσων καὶ θλίψεων.

Θαυματόβρυτε Κόρη,
ἀναβοῶ, ἔμπλησον
ἀρετῶν παντοιων σὸν δοῦλον,
ἵνα δοξάζω σε,
Ἐλαιοβρύτις, ἀεὶ
ὡς ὁ Γεννάδιος πάλαι
ὁ ἰδὼν τὴν δύναμιν
τῆς προμηθείας σου.

Εὐσπλαγχνίας πυξίον,
οἰκονομεῖς ἄριστα
σοῦ τοῖς ἐκζητοῦσι τὴν θείαν
πρόνοιαν πάντοτε
τὰ πρὸς τὸ ζῆν ἱκανὰ
καὶ ἀναγκαῖα, Παρθένε,
πρὸς σαρκὸς παράκλησιν
καὶ σὴν ἐξύμνησιν.

Ἱκετεύω, μὴ παύσῃ,
Χριστιανῶν καύχημα,
πάντας ἐποπτεύειν ἐξ ὕψους
σοὶ τοὺς προσπίπτοντας
καὶ προστασίας τῆς σῆς,
Ἐλαιοβρύτις, τὴν χάριν
ἐκζητοῦντας πάντοτε,
ἵνα δοξάζω σε.

Διάσωσον,
Ἐλαιοβρύτις, πανύμνητε Θεοτόκε,
ἐκ κακώσεων, συμφορῶν, λιμῶν τε καὶ θλίψεων,
τοὺς πόθῳ προσφεύγοντας ταῖς λιταῖς σου.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Ἐλέους κρουνέ, Παρθένε, ἀνεξάντλητε,
πρεσβείαις ταῖς σαῖς προσφεύγομεν ἑκάστοτε
οἱ πιστῶς τιμῶντές σε
καὶ μορφὴν τὴν σὴν ἀσπαζόμενοι
τῆς σῆς εὐνοίας χάριν δαψιλῶς
λαμβάνομεν, ὦ Ἐλαιοβρύτισσα.

Ὠδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ὄμβρισόν μοι χρηστότητος
καὶ δικαιοσύνης ῥανίδας, Δέσποινα,
ἵνα ἄρσω τὴν καρδίαν μου
τὴν κεχερσωμένην ἀτοπήμασιν.

Ὑμνῳδίαις ἑκάστοτε
στέφομέν σε, Μῆτερ Ἐλαιοβρύτισσα,
οἱ πενόμενοι καὶ στένοντες
ἐν δειναῖς τοῦ βίου περιστάσεσιν.

Ἐκβοῶμέν σοι, Ἄχραντε,
τῆς προμηθεστάτης σου ἀντιλήψεως
ἐπομβρίαις τοὺς τιμῶντάς σε
ἐκ πλημμελημάτων ῥύπου κάθαρον.

Μοναστῶν τὰ συστήματα
καὶ μιγάδων δῆμοι τῇ θείᾳ σκέπῃ σου
καταφεύγοντες πληρούμεθα
χαρμονῆς, σεπτὴ Ἐλαιοβρύτισσα.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Πλῆσον θεϊκῆς
εὐφροσύνης καὶ ἀνάδειξον
κληρονόμους βασιλείας οὐρανῶν
τοὺς πιστῶς, Ἐλαιοβρύτις, εὐφημοῦντάς σε.

Λοῦσόν με ῥοαῖς
κατανύξεως καὶ ἔνδυσον
μετανοίας με χιτῶνα καθαρόν,
ἵνα μέλπω σε ᾠδαῖς, Ἐλαιοβρύτισσα.

Ἤνεσε λαμπρῶς
ὁ Γεννάδιος σὴν πρόνοιαν
κατιδών, Ἐλαιοβρύτις, θαυμαστῶς
τὰ κενὰ δοχεῖα ἔλαιον ἐκβλύζοντα.

Στῦλον ἀῤῥαγῆ
προμηθείας Βατοπέδιον
σὲ κατέχον καταφεύγει εὐλαβῶς
ἐν ἀνάγκαις σοι ἀεί, Ἐλαιοβρύτισσα.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ὁ πάντιμος ἀσκητὴς Γεννάδιος,
ὁ τὴν ἔλλειψιν γιγνώσκων ἐλαίου
καὶ τὰ κενὰ ἐποπτεύων δοχεῖα,
Ἐλαιοβρύτις, ἐξέστη θεώμενος
τὴν ἐξ αὐτῶν ὑπερφυῶς
σῇ προνοίᾳ, Παρθένε, ἀνάβλυσιν.

Νοσφίζοντα πονηρὸν ἀλάστορα
τὴν ἡμῶν ἐλευθερίαν δυνάμει,
Ἐλαιοβρύτις, τοῦ θείου σου τόκου,
σὲ δυσωποῦμεν,ταχὺ ἀποδίωξον
καὶ οἰκετῶν σου τὰς ψυχὰς
τοῖς ἀγγέλων στρατεύμασι τείχισον.

Μητρόθεε, τῇ σεπτῇ εἰκόνι σου
προσιόντες ὡς εἰς εὔδιον ὅρμον
τρικυμιῶν χαλεπῶν τῶν τοῦ βίου,
Ἐλαιοβρύτις Παρθένε, λυτρούμεθα
καὶ τῆς εἰρήνης τῶν καρπῶν ,
οὕς, Πανύμνητε, δίδως,γευόμεθα.

Ἐπάκουσον τῶν θερμῶν δεήσεων
τῶν ἐν πίστει προσκυνούντων τὴν θείαν,
Ἐλαιοβρύτις, μορφήν σου καὶ δίδου
αὐτοῖς ὑψόθεν ἐλέη τὰ πλούσια
τοῦ σοῦ Υἱοῦ καὶ ἀρωγὴν
τὴν ταχεῖάν σου, Νύμφη ἀνύμφευτε.

Διάσωσον,
Ἐλαιοβρύτις, πανύμνητε Θεοτόκε,
ἐκ κακώσεων, συμφορῶν, λιμῶν τε καὶ θλίψεων,
τοὺς πόθῳ προσφεύγοντας ταῖς λιταῖς σου.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον. Ἦχος β'.

Τοῖς τῶν αἱμάτων σου.

Ὡς ἀσφαλῆ οἰκονόμον καὶ ἔφορον,
Ἐλαιοβρύτις Παρθένε, πλουτοῦντές σε
οἱ ἐν Ἄθῳ ἀσκούμενοι σπεύδομεν
τῇ σῇ ἁγίᾳ εἰκόνι κραυγάζοντες·
ἐλέους πηγὴ πέλεις, Δέσποινα.

**Καὶ εὐθὺς τὸ Προκείμενον.**

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ **(τρίς)**.

**Στίχ.** Ἄκουσον θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

**Ὁ Ἱερεύς·**

Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἀναγνώστης·**

Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς·**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν Ἁγίοις ἐπαναπαύει καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ χορός·**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον **(τρίς)**.

**Ὁ Ἱερεύς·**

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

**Ὁ χορός·**

Κύριε, ἐλέησον **(ἐκ γ')**.

**Ὁ ἱερεύς·**

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου· Εἰρήνη πᾶσι.

**Ὁ χορός·**

Καὶ τῷ πνεύματί σου

**Ὁ ἱερεύς·**

Ἐκ τοῦ κατὰ Λουκὰν Ἁγίου Εὐαγελίου τὸ ἀνάγνωσμα· Πρόσχωμεν.

**Ὁ χορός·**

Δόξα σοι, Κύριε, δόξα σοι.

**Ὁ ἱερεύς· (Λουκ. α΄ 39-49, 56)**

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

**Ὁ χορός·**

Δόξα σοι, Κύριε, δόξα σοι.

**Καὶ εἶτα, ὁ Χορός.**
**Ἦχος β΄. Δόξα Πατρί...**

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν...**

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον.
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Πάντας τοὺς προσπίπτοντας,
Ἐλαιοβρύτις Παρθένε,
τῷ χαριτοβρύτῳ σου
θείῳ ἐκτυπώματι
διαφύλαττε
ἀσινεῖς, Δέσποινα,
ἐκ τῶν τοῦ Βελίαρ
τοξευμάτων καὶ ἀπάλλαξον
ποικίλων θλίψεων,
συμφορῶν, λιμοῦ καὶ κακώσεων
ἡμᾶς τοὺς μακαρίζοντας
σὲ εἰς τὸν αἰῶνα τὸν ἅπαντα
καὶ εὐσήμῳ γλώσσῃ
κηρύττοντας τὰ θαύματα τὰ σά,
ἅπερ τελεῖς τοῖς τιμῶσί σε,
Γενναδίου καύχημα.

**Ὁ ἱερεύς·**

Σῶσον ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ, ἐφ' ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) καὶ πάντων σου τῶν ἁγίων, ἱκετεύομεν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

**Καὶ ἡμεῖς τό·**

Κύριε, ἐλέησον · **ιβ΄(δωδεκάκις).**

**Ὁ ἱερεύς·**

Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός·**

Ἀμήν.

**Καὶ ἀποπληροῦμεν τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.**

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐγκαυχᾶται ὁ Ἄθως
τῇ σεπτῇ σου εἰκόνι καὶ τὰ συστήματα,
ἁγνὴ Ἐλαιοβρύτις,
ἀζύγων συγκαλεῖται
εὐχαρίστως κραυγάζειν σοι·
Χαῖρε, ἡμῶν ἀρωγὲ
καὶ θεία προστασία.

Λοιμικῆς ἀσθενείας
ἐξ ἡμῶν τὴν ὁμίχλην, Ἐλαιοβρύτισσα,
ἀπέλασον καὶ σῶσον
ἐκ βλάβης τοῦ Βελίαρ
καὶ κινδύνων τοὺς δούλους σου,
τοὺς τὴν εἰκόνα τὴν σὴν
πιστῶς ἀσπαζομένους.

Ἀνακράζω σοι, Μῆτερ,
νεκρωθέντα σὸν δοῦλον
κακίαις ζώωσον,
ἡ τέξασα ἀφράστως
Χριστὸν τὸν Ζωοδότην,
τὸν θαυμάτων σε δείξαντα,
Ἐλαιοβρύτις, κρουνὸν
καὶ ποταμὸν ἐλέους.

Ἱλαστήριον θεῖον,
ἡ ἁγία εἰκών σου, Ἐλαιοβρύτισσα,
ἡμῖν ὑπάρχει πᾶσι
τοῖς πόθῳ ἐκζητοῦσι
τὰς ἀόκνους πρεσβείας σου
καὶ σωστικὰς πρὸς Χριστὸν
καὶ Λυτρωτὴν τοῦ κόσμου.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Οἱ προσκυνοῦντες,
Ἐλαιοβρύτις, ἀσμένως
τὴν ἁγίαν σου μορφὴν εἰρήνην θείαν
καὶ ὑγείας γέρα
κομίζονται κατ'ἄμφω.

Βυθοῦ ἀγνοίας
ἐξάρπασόν με τὸν πόθῳ
σὲ ὑμνοῦντα, θαυμαστὴ Ἐλαιοβρύτις,
γνώσεως ἐνθέου
δεικνύουσά μοι τρίβους.

Ῥῶσιν πηγάζει
ψυχῆς καὶ σώματος ἅμα
ὑπεμφαίνουσα, Ἐλαιοβρύτις, χάρις,
ἣν ἐκχέει πᾶσιν
ἀφθόνως ἡ μορφή σου.

Ὑμνολογοῦμεν
σὲ οἱ ἀσκούμενοι ᾧδε
καὶ καυχώμενοι τῇ σῇ ἐπισκιάσει,
τοῦ Βατοπεδίου
ὡράϊσμα καὶ κλέος.

Ὠδὴ θ'. Κυρίως θεοτόκον.

Τοὺς κατασπαζομένους
ἔκτυπον σὸν θεῖον,
Ἐλαιοβρύτις, ἐκ δίνης ἀπάλλαξον,
λιμοῦ, σεισμοῦ βαρυτάτου καὶ πάσης μάστιγος.

Ἰάτρευσον τὰς νόσους
τῶν δεινῶς στενόντων
καὶ συνηθείας τῆς φαύλης ἐκλύτρωσαι,
Ἐλαιοβρύτις Μαρία, τοὺς προσιόντας σοι.

Σωφρόνως τε δικαίως,
σὲ παρακαλοῦμεν,
καὶ εὐσεβῶς διαπλεῦσαι τὸν δίαυλον,
Ἐλαιοβρύτις, τοῦ βίου ἡμᾶς ἀξίωσον.

Χαρίτων θείων ῥεῖθρον,
Κεχαριτωμένη
Ἐλαιοβρύτις, ὁ δύστηνος δοῦλός σου
ἀπόπλυνόν μου, κραυγάζω,
ψυχῆς τὸν βόρβορον.

Ἄξιόν ἐστι....Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χάριν ἀναβλύζει διηνεκῶς,
ὦ Ἐλαιοβρύτις,
μυστικῇ σου ἐπισκοπῇ
ἡ σεπτὴ εἰκών σου
ἐν τῷ Βατοπεδίῳ,
σὴν θείαν γευομένῳ
πάντοτε πρόνοιαν.

Ῥῦσαι ὀλεθρίου ἐπιβουλῆς
τοῦ ἐχθροῦ, κινδύνων
ψυχοφθόρων τε καὶ λιμοῦ,
τοὺς τὴν σὴν εἰκόνα,
Ἐλαιοβρύτις Κόρη,
πιστῶς ἀσπαζομένους,
Ἄθω θησαύρισμα.

Ἴδε τοὺς προστρέχοντας εὐλαβῶς
τῇ σεπτῇ μορφῇ σου
ἐν δοχείῳ τῷ τῆς μονῆς
τοῦ Βατοπεδίου,
Ἐλαιοβρύτις Μῆτερ,
καὶ πλήρου τὰς αἰτήσεις
τούτων ἑκάστοτε.

Πλῆσον τὴν καρδίαν μου χαρμονῆς
ὡς τοῦ κατιδόντος
τῶν ἀγγείων τῶν πρὶν κενῶν
πλῆσιν δι᾽ἐλαίου,
ὁσίου Γενναδίου,
σεμνὴ Ἐλαιοβρύτις,
κόσμου προσφύγιον.

Χαίροις, ὁ οὐράνιος γλυκασμὸς
τῶν ἐν γῇ βιούντων
καὶ τοῦ Ἄθωνος θησαυρός,
χαίροις, χριστωνύμου
λαοῦ, Ἐλαιοβρύτις,
ἀκέστωρ ἐν κινδύνοις
καὶ περιστάσεσι

Ὥσπερ πάλαι ἔπλησας τὰ κενὰ
ἄγγεα ἐλαίου
τοῦ δοχείου ὑπερφυῶς,
οὕτω πλήρωσόν μου
χαρᾶς, Ἐλαιοβρύτις
Κυρία, τὴν καρδίαν,
ἵνα γεραίρω σε.

Πᾶσαι τῶν ἀγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ταῖς χρείαις προστρέχουσα,
Ἐλαιοβρύτις, ταχὺ
τῶν δούλων σου ἔδειξας
τῷ Γενναδίῳ ἰσχὺν
τὴν θείαν σου βλύζουσα
ἔλαιον καὶ πληροῦσα
τῆς μονῆς τὰ δοχεῖα,
κλέος Βατοπεδίου·
ὅθεν πάντες σε ὕμνοις
τιμῶντες τὰς σεπτάς σου λιτὰς
ἐπικαλούμεθα.

**Ὁ ἱερεύς.**

Ἐλέησον ἡμᾶς ὁ Θεός...

Ἔτι δεόμεθα, ὑπὲρ ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης...

(**Καὶ μνημονεύει πάλιν, ὑπὲρ ὧν γίνεται ἡ παράκλησις**).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην πᾶσαν μονήν, πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·**

Ἀμήν.

**Ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν.**

Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

**Ὁ ἀναγνώστης·**

Δόξα... Καὶ νῦν... Κύριε ἐλέησον (**τρίς**), εὐλόγησον.

**Ὁ ἱερεὺς·**

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· (τοῦ ἁγίου τοῦ ναοῦ, ἐφ' ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**Τῶν χριστιανῶν ἀσπαζομένων τὴν εἰκόνα τῆς Θεοτόκου ψάλλονται τὰ παρόντα τροπάρια.**

**Ἦχος β΄ Ὅτε ἐκ τοῦ ξύλου.**

Εὖχος τοῦ δοχείου ἀληθῶς
τοῦ Βατοπεδίου τῆς μάνδρας,
Ἐλαιοβρύτις σεμνή,
ἡ χαρᾶς πληρώσασα
ποτὲ Γεννάδιον,
τὸν ἰδόντα πληρούμενα
τὰ ἄγγη ἐλαίου,
πλῆσον τῆς καρδίας μου
χαρᾶς τὰ μύχια
λύπην ἐκδιώκουσα πόῤῥῳ,
ἵνα σε ἀεὶ μεγαλύνω
καὶ δοξολογῶ τὸν θεῖον Τόκον σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ ἱερεύς·

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς

Ὁ ἀναγνώστης

Ἀμήν.

ΜΗΤΡΙ ΤΟΥ ΘΕΟΥ
✝
ΔΕΗΣΙΝ ΠΡΟΣΑΓΩ

Δίστιχον

Ἐλέους θείου πλῆσον, Ἐλαιοβρύτις,
σαῖς λιταῖς τόν προσφεύγοντα Χαραλάμπη.